# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΛΑΥΡΕΝΤΙΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΤΗι Ζ΄. ΜΑΡΤΙΟΥ.

ΕΚΔΙΔΕΤΑΙ ΔΑΠΑΝΗι

ΤΗΣ ΕΝ

ΣΑΛΑΜΙΝΙ ΜΟΝΗΣ ΤΗΣ ΦΑΝΕΡΩΜΕΝΗΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

1885

# ΠΡΟΛΟΓΟΣ

Ἡ ἀνὰ χεῖρας ἀκολουθία τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Λαυρεντίου, τοῦ κτίτορος τῆς ἐν τῇ νήσῳ Σαλαμῖνος Σεβασμίας Μονῆς τῆς Θεοτόκου οὗ ἡ μνήμη τελεῖται ἐν τῇ Μονῇ ταύτῃ τῇ ζ'. Μαρτίου, συνταχθεῖσα τὸ πρῶτον παρὰ τοῦ Σεβασμιωτάτου Ἐπισκόπου Ἀττικῆς, Νεοφύτου Μεταξᾶ, ὄντος τότε ἱεροδιακόνου τῆς Ἐπισκοπῆς Ταλαντίων· εἶτα δὲ εἰς ἁπλῆν γλῶσσαν μετηνέχθη παρὰ τοῦ Ἱερέως Κωνσταντίνου Πανούση τοῦ ἐκ Μεγάρων ἐν ἔτει 1848.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΛΑΥΡΕΝΤΙΟΥ.

---

*Μηνὶ Μαρτίου ζ΄.*

Μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Λαυρεντίου τοῦ κτίτορος τῆς ἐν τῇ νήσῳ Σαλαμῖνος Μονῆς τῆς Φανερωμένης.

Ἑσπέρας μετὰ τὸν προοιμιακόν, τὸ *Μακάριος ἀνήρ.* καὶ τό, *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους γ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια, δευτεροῦντες αὐτά.

Ἦχος ά.

*Πανεύφημοι Μάρτυρες.*

Πάτερ Λαυρέντιε Θεῷ, ὅλος προσηλούμενος, καὶ τὰ φθαρτὰ κατεφρόνησας, Μονὴν πεποίηκας, ἐν αὐτῇ ἀσκήσας σὺν πλείστοις μονάζουσι, καὶ τούτοις ὁδηγῶν ἐν τοῖς δόγμασι, τῇ θείᾳ χάριτι. Διὰ τοῦτό Σε γεραίρομεν, τῶν Ὁσίων θεῖον ἐγκαλλώπισμα. (Δίς).

Θεόφρον Λαυρέντιε Χριστῷ, ἀνεδείχθης γνήσιος καὶ πάντων τῶν προσκαίρων κατέλιπες, ὡς ὄντα γήϊνα, ἐν ἀσκήσει πάτερ, τὸν βίον διήνυσας, ἡμέρᾳ τε καὶ νυκτὶ προσευχόμενος, ἐν τῷ οἰκίσκῳ Σου, προσευχάς τε γὰρ ἀνέπεμπες, τῷ Κυρίῳ παμμάκαρ θεόληπτε. (Δίς).

σίως διῆγες τὴν ζωήν, τῶν ματαίων Ὅσιε, διδάσκων ἐμμελῶς τὰ ἐντάλματα τοῖς ἐξασκοῦσί Σοι· ὅθεν νῦν ἀγάλλῃ τῷ Χριστῷ πανένδοξε, σὺν πάσῃ τῇ χορείᾳ ὁσίων τε, μεθ' ὧν νῦν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος. (Δίς).

*Δόξα.* ἦχος πλ. β'.

Πόνοις καὶ καμάτοις, ὁ πατὴρ ἡμῶν Λαυρέντιος, ἐπιστηρίξας τὴν αὐτοῦ Μονήν, καὶ ἀθροίσας ἐν ταύτῃ ἀδελφούς, καὶ τούτων ποδηγέτης γενόμενος, κανὼν ἀρετῆς ἀκριβέστατος ἀνεδείχθη. Ὅθεν νῦν εὐφραίνεται ἐν οὐρανοῖς, σὺν ταῖς χοροστασίαις τῶν ἀσωμάτων. Δεῦτε οὖν καὶ ἡμεῖς χείλεσιν ἀναξίοις μεγαλύνομεν τὸν ἡμέτερον προστάτην, ὅπως ἀδιαλείπτως πρεσβεύῃ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν, ὁ αὐτός. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία παρθένε; τίς μὴ μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ πατρὸς ἐκλάμψας υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος· τό, Φῶς Ἱλαρόν.

τὸ προκείμενον τῆς ἡμέρας· καὶ τὰ ἀναγνώσματα.



*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων· ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασαν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτῶν σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτούς. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτῆσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκρι-

τον· Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ ὁ κόσμος αὐτῷ ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε. Μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ οἱ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη, ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς εὐθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ



αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Καὶ γίνεται ἐκτενὴς ὑπὸ τοῦ ἱερέως.

*Εἰς τὴν Λιτήν. Στίχ. ἰδιόμελα.* Ἦχος Β'.

Σήμερον ὁ κοινὸς ἡμῶν προστάτης συγκαλεῖται ἡμᾶς πρὸς εὐτυχίαν πνευματικήν, ἐν τῇ πανσέπτῳ αὐτοῦ μνήμῃ. Δεῦτε καὶ ἡμεῖς ἐν εὐφροσύνῃ, δοξολογήσωμεν τὸν παντάνακτον θεόν, τὸν τοῦτον δοξάσαντα εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Καλῶς πολιτευσάμενος πάτερ ὅσιε, καταλιπὼν γὰρ τὰ ἐπίκηρα, οἰκεῖς ἐν οὐρανοῖς ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν ταγμάτων· διόπερ καὶ ἡμεῖς οἱ ἁμαρτωλοί, προσπίπτομέν σοι θερμῶς, ἵνα πρεσβεύῃς τῷ Κυρίῳ ἀδιαλείπτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Πάτερ Λαυρέντιε, καλῶς ἀγωνισάμενος ὑπὲρ τῆς εὐσεβείας, ἀνδρείως κατεπάτησας τοῦ ἐχθροῦ τὰ ἔνεδρα, τύπος καὶ ὑπογραμμὸς τῆς ἀρετῆς ἐγένου, διδάσκων ἐπιμελῶς τὰς τοῦ μονήρους βίου πράξεις, τοὺς μετὰ σοῦ ἐνασκοῦντας, καὶ οὕτω βιώσας καλῶς ἐν τῇ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀσκήσει, κατεφρόνησας τὰ γήϊνα καὶ φθαρτὰ καὶ ἐκπληρώσω τὴν ἀΐδιον βασιλείαν· πρέσβευε οὖν διηνεκῶς τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου.

*Δόξα. ἦχος πλ. ά.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, ὑμνήσωμεν ἐν ὕμνοις, τὸν Κύριον τῆς δόξης, τὸν δοξάζοντα τοὺς πιστοὺς αὐτοῦ δούλους, τοὺς εὐσεβῶς διανύοντας. Δεῦτε οὖν ἀδελφοὶ καὶ ἡμεῖς χείλεσιν ἀναξίοις δοξάσωμεν τὸν θερμὸν ἡμῶν προστάτην, οὕτω λέγοντες· χαίροις τῶν ὁσίων ὁμόσκηνε, καὶ τῶν δικαίων συμμέτοχε· χαίροις ἰσοστάσιε τῶν Ἀγγέλων, ὅτι ἀγγελικῶς βιώσας ἐπὶ τῆς γῆς, καὶ ὡς οὐδὲν ἐλλογίσω τὰ πρόσκαιρα· χαίροις κανὼν τῆς ἀρετῆς διαπρύσιε, καὶ κληροῦχε τῆς τοῦ Χριστοῦ βασιλείας· ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς αὐτὸν τὸν Θεόν, αἴτησαι ἡμῖν πάτερ Λαυρέντιε, δωρηθῆναι εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν ὁ αὐτός. Θεοτοκίον.*

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος· τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχ. προσόμοια. ἦχος πλ. ά.*

*Χαίροις ἀσκητικῶν ἀληθεῖς.*

Χαίροις τῶν ἀρετῶν ἡ κρηπίς, καὶ τῶν Ὁσίων ἐγκαλλώπισμα ἔνδοξον, ἡ βάσις τῆς ἀληθείας, τῶν ἀ-



σκητῶν καλλονή, καὶ τῆς Ἐκκλησίας περιήχημα. Ὁ νοῦς ὁ τῆς χάριτος, ὁ ἀεὶ προσευχόμενος, καὶ ἐν οἰκίσκῳ σμικροτάτῳ κλειόμενος, χαίρων ἔνδοξε, τὰς εὐχάς σου προσήνεγκας· ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, δόξα καὶ κλέος ὁσίων, τῶν ἀσκητῶν ἀκροθήνιον· Χριστὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου.

Ὄντως ὑπάρχεις πάτερ σοφός, τῶν ἀσκητῶν τε καὶ ὁσίων ἀγλάϊσμα, δόξα καὶ κλέος μέγα, ἐν οὐρανῷ καὶ ἐν γῇ, συναγάλλῃ πάτερ, μετ' ἀγγέλων ἀεὶ εὐωχούμενος· σὺν τῇ χορείᾳ τῶν ἁγίων Θεόκλητε, ὄργανον τὸ τοῦ πνεύματος, ὁ νοῦς ὁ ἐγρηγορώς, ὅθεν καὶ νῦν σε τιμῶμεν, ἀξιοχρέως οἱ τάλανες· Χριστὸν μὴ ἐλλείπῃς, ἱκετεύειν σε ἀπαύστως, ὑπὲρ τῶν δούλων σου.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Πάτερ τὰς οὐρανίους σκηνάς, περιπολεῖς διηνεκῶς παμμακάριστε, ἀξίως ἐπολιτεύσω, ἐν τῇ προσκαίρῳ ζωῇ, διὰ τοῦτο μάκαρ πολυύμνητε, ὁ Χριστός σε συνέταξε, σὺν τοῖς ὁσίοις, καὶ ἁπάσῃ χορείᾳ τε, τῶν Ἀσωμάτων, οὐρανίων Δυνάμεων· ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, πρέσβευε οὖν ἀπαύστως, Χριστῷ τῷ Θεῷ ἡμῶν, τοῦ δωρήσασθαι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

ΑΣΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

*Δόξα.* ἦχος πλ. δ'.

Ἀξιοχρέως τιμῶμεν σε Πάτερ Λαυρέντιε. Ἐπεὶ ὁ δεσπότης Χριστὸς σὲ ἠξίωσεν εἰς τὰς οὐρανίους σκηνὰς συγκατοικεῖν, μετὰ πάντων τῶν Ὁσίων, καὶ τῶν ἀσκητῶν· καὶ ὡς ἀστὴρ ἀειλαμπὴς καταφωτίζεις τοὺς πιστούς, τοὺς θερμῶς προσιόντας τοῖς λειψάνοις Σου, ὅσιε πάτερ ἡμῶν· διὸ ὡς ἔχων παρρησίαν πολλὴν πρὸς αὐτὸν τὸν Θεὸν, αἴτησαι ἡμῖν δοθῆναι εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. ὁ αὐτός. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν ταῖς ἡμῶν ἱκεσίαις προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Ἀπολυτίκιον.* ἦχος ά.

Τῆς Μεγαρίδος τὸν γόνον, καὶ ἀσκητῶν ἐγκαλλώπισμα, τῆς Μονῆς φρουρὸν τῆς Σαλαμῖνος, τὸν Λαυρέντιον ὑμνήσωμεν ἅπαντες, ἐν ὕμνοις συμφώνως οἱ πιστοί, βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς, σαῖς λιταῖς τὴν σὴν πόλιν καὶ τὴν Μονήν σου πάτερ διαφύλαττε· δόξα τῷ σὲ δοξάσαντι Θεῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ ἡμῖν πρέσβυν ἀκοίμητον.



*Καὶ νῦν. ὁ αὐτὸς Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλον δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου· δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν ά. Στίχ. Καθίσμ. ἦχος ά.

*Τὸν τάφον σου Σωτήρ.*

Παμμάκαρ ἀληθῶς ἀνεδείχθης Θεόφρων, ἀκλόνητος φωστήρ, διαλάμπων τοῖς πᾶσι, κατεπλούτησας· πάντας τοὺς ἐν ἀσκήσει, χαίρων ἤσκησας, καὶ κατεφρόνησας πάντα τοῦ βίου τὰ γήϊνα.

*Δόξα.* τὸ αὐτό.

*Καὶ νῦν.* Θεοτοκίον.

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν Β΄. Στίχ. ἕτερον Κάθισμ· ἦχος πλ. δ΄.

*Τὴν σοφίαν καὶ λόγον.*

Μετανάστης ἐγένου, πάτερ, σαφῶς, καὶ πατρίδα καί πλοῦτον καταλιπών, Μονὴν ἐνῳκοδόμησας, ἐν αὐτῇ ἐξασκήσας, καλῶς τὸν βίον μάκαρ, ἐξετέλεσας ἔνδοξε, ὅθεν νῦν ἀγάλλῃ μετὰ πάντων ὁσίων, ἐν σκηναῖς τῶν δικαίων τε· Θεοφόρε Λαυρέντιε πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα.* τὸ αὐτό.

*Καὶ νῦν.* Θεοτοκίον.

Τὴν ψυχήν μου, παρθένε, τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τε φόρτῳ, ὤφθησαν ὑπέραντλον, καὶ ἐν πυθμένι ᾅδου, ἐλθεῖν κινδυνεύουσαν· φθάσον, Θεοτόκε, πρεσβειῶν σου ἐλέη, γαλήνην παρέχουσα καὶ κινδύνων ἐξαίρουσα· σὺ λιμὴν γὰρ ἀχείμαστος, πρεσβεύουσα τῷ σῷ υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Μετὰ τὸν πολυέλεον· ἕτερον Κάθισμ.



*Τὸν συνάναρχον λόγον.*

Τὸν προστάτην τὸν μέγαν ἀνευφημήσωμεν, τῶν ὁσίων τὸ σκεῦος τὸ καθαρώτατον, τὸν θερμὸν ἀντιλήπτορα, καὶ τῶν πιστῶν καλλονήν, ἁπάντων τε τῶν δικαίων, τῶν προστρεχόντων ἐν πίστει, ἐν πανσέπτῳ τεμένει αὐτοῦ.

*Δόξα.* τὸ αὐτό.

*Καὶ νῦν.* Θεοτοκίον.

Τῆς ψυχῆς μου τὰ πάθη τὰ πολυώδυνα καὶ σαρκός μου τὰς νόσους ἐν τάχει ἴασαι· τὰς τοῦ νοός μου ἐκτροπὰς στῆσον πανάμωμε, καὶ ἐν γαλήνῃ λογισμῶν εὐχὰς προσφέρειν καθαράς, τῷ βασιλεῖ τῶν ἁπάντων, ἀξίωσον Θεοτόκε, καὶ ἐξαιτεῖσθαι πταισμάτων ἄφεσιν

Οἱ ἀναβαθμοί. Τὸ ά. Ἀντίφωνον τοῦ δ΄. ἤχου, εἶτα, Προκείμενον· ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Εὐαγγέλιον. *Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱόν, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι καγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι

ΠΑΝΝΑΞΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΕΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Μετὰ τὸν Ν. Ψαλμόν· εὐθὺς τὸ *Δόξα*. Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις ἐλεήμων. *Καὶ νῦν*. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. Εἶτα τὸ Ἰδιόμελον· ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Ὁσιώτατε Πάτερ, ὁ καλῶς ἀγωνισάμενος, καὶ καταφρονήσας τὰ γήϊνα καὶ φθαρτά· διὰ τοῦτο ἐν οὐρανοῖς ἀπέλαβες παρὰ τοῦ πανσόφου Σωτῆρος ἡμῶν, τὸν ἀμαράντινον στέφανον· ὅθεν ὡς ἔχων παρρησίαν μεγίστην πρὸς αὐτὸν τὸν Χριστόν, αἴτησαι πρεσβείαις σου, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἱερεὺς τό· *Σῶσον ὁ Θεὸς τὸν λαόν σου.*

Εἶτα ὁ Κανὼν τῆς Θεοτόκου εἰς δ'. καὶ τοῦ Ὁσίου ὁμοίως εἰς δ'.

Ὠδὴ ά. ἦχος πλ. δ'.

*Ἁρματηλάτην Φαραώ.*

Ἀθανασίας καὶ ζωῆς λαβόμενος τῆς αἰωνίου σαφῶς, καὶ τριλαμπῆς αἴγλης πάτερ ἐμφορούμενος, τῷ φωτισμῷ τῆς χάριτος τὴν ζοφώδη ψυχήν μου καταυγασθῆναι δυσώπησον ὅπως ἐπαξίως ὑμνήσω σε.

Ὄντως ἀκμαῖος ὑπάρχων ἐν σώματι, καινὴν ὁδὸν ἀρετῆς, ἀναλαβὼν ταύτην, ἀκινδύνως ὥδευσας, νόμῳ καινῷ πειθόμενος, τοῦ Σωτῆρος τρισμάκαρ καὶ ζωηφόροις προστάγμασι τοῦ Εὐαγγελίου ἑπόμενος,



Τῇ τρισηλίῳ λαμπηδόνι πάνσοφε καταλαμπόμενος, τὸ δυσμενὲς μάκαρ τῶν δαιμόνων φρύαγμα, καὶ τῶν θηρῶν τὰ χάσματα, αἰκισμῶν τε τοὺς πόνους, ἀράχνης δίκην διέλυσας, θείῳ πυρακτούμενος ἔρωτι.

*Θεοτοκίον.*

Ὡς Θεοῦ μήτηρ παρρησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ σοῦ μονογενῆ λόγον, καὶ πατρὶ συνάναρχον καὶ συμφυῆ τῷ πνεύματι, δυσωποῦσα μὴ παύσῃ κινδύνων σῶσαι πανάμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχάς.*

Νενευρωμένῳ λογισμῷ, καὶ σταθερᾷ διανοίᾳ τῶν παθῶν καταμαράνας τὴν φλόγα, ἀπαθείας τὴν φαιδρὰν καταστολὴν Λαυρέντιε, περιεβάλλου Πάτερ, καὶ Σωτηρίου ἱμάτιον.

Ἰσχυροτάταις προσβολαῖς δαιμόνων θρασυνομένων καὶ θηρίων τὰς ὁρμὰς κινουμένων, κατεφρόνησας αὐτῶν τῆς ἀσθενοῦς δυνάμεως, τὸν κραταιὸν γὰρ εἶχες ἐν τοῖς πολέμοις συλλήπτορα.

Ὁ θεοφόρος τὰς ἀρχὰς τοῦ σκότους καὶ ἐξουσίας θριαμβεύσας, ἐγκρατείᾳ συντόνῳ τροπαιοῦχος νικητὴς Λαυρέντιος ἐγένετο· τῶν ἀσκητῶν ἡ δόξα, καὶ μοναζόντων τὸ καύχημα.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Νενεκρωμένον μου τὸν νοῦν τῇ τῆς ζωῆς ἐνεργείᾳ τῆς ἐκ σοῦ φανερωθείσης τῷ κόσμῳ, ἐξανάστησον ἁγνή, καὶ πρὸς ζωὴν ὁδήγησον. ἡ τοῦ θανάτου πύλας λύσασα μόνη τῷ τόκῳ σου.

Καταβασία. *Τοὺς σοὺς ὑμνολόγους.*

Κάθισμα ἦχος πλ. δ'.

*Τὴν σοφίαν καὶ λόγον.*

Τὸν σταυρὸν τοῦ Κυρίου ἄρας σοφέ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νοῦν οὐχ ὑπέστρεψας ἐν τῷ κόσμῳ θεόσοφε, ἐγκρατείᾳ καὶ πόνοις, τὰ πάθη ἐνέκρωσας καὶ ναὸν ἡτοίμασας, σαυτὸν τῷ Κυρίῳ σου· ὅθεν χαρισμάτων ἀμοιβὴν ἐκομίσω, ἰᾶσθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα, θεοφόρε Λαυρέντιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Θεοτοκίον·*

Ὡς πανάμωμος νύμφη τοῦ ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ παρακλήτου πανύμνητε, ἀνομίας με ὄντα, αἰσχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον, σπεῦσον καὶ τῆς τούτων κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα· φωτοδόχε ἀκήρατε, δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὲς ἀνεσπέρου πρεσβείας σου.



Ὠδὴ δ'. *Σύ μου ἰσχὺς Κύριε.*

Τῶν ἀρετῶν κλίμακι θείᾳ χρησάμενος, πρὸς τὸ ὕψος πάτερ ἀναβέβηκας, καὶ τὸν Θεὸν εἶδες ἐπ' αὐτὴν ἐπεστηριγμένον, καὶ δωρεὰς διανέμοντα, χειρὶ πλουσιωτάτῃ τοῖς πιστοῖς μελῳδοῦσι, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὅλος Θεῷ καθιερώθης Λαυρέντιε, μόνος μόνῳ πάνσοφε ἑνούμενος δι' ἀρετῆς, καὶ καθομιλῶν, καὶ θεοφανείας ὡς καθαρὸς ἀξιούμενος, τῆς γῆς καὶ τῶν γηΐνων ἀποστὰς γὰρ ἀξίως, τὴν οὐράνιον εὗρες ἀπόλαυσιν.

Νοῦν καὶ ψυχήν, κεκαθαρμένος Λαυρέντιε, τὴν ἀπάτην πάτερ τὴν ψυχόλεθρον καὶ μηχανὰς δόλους τε πικροὺς καὶ τὰς φαντασίας τῶν δυσμενῶν ἐφανέρωσας, παθῶν γὰρ ἐδιδάχθης, καὶ μαθὼν ἐκδιδάσκεις μοναζόντων τὰ πλήθη πανόλβιε.

*Θεοτοκίον.*

Θεὸν ἐκ σοῦ τὸν σαρκωθέντα δυσώπησον, τὸν ἀτρέπτως διαμείναντα, καὶ φυσικῶς ἶσον τῷ πατρὶ γενόμενον καὶ ὁμοούσιον· συγχώρησιν πταισμάτων καὶ ψυχῶν σωτηρίαν τοῖς ὑμνοῦσί σε πίστει δωρήσασθαι.

Καταβασία. *Τὴν ἀνεξιχνίαστον.*

Ὠδὴ ε'. *Ἵνα τί με ἀπώσω.*

Ἐνοικοῦντά σοι ἔχων τὸν τὰ πάντα βλέποντα Θεὸν μακάριε, ἐκδιδάσκοντά σε καὶ φωτίζοντα καὶ

συνετίζοντα τῶν ψυχῶν τρισμάκαρ τῶν καθαρῶν καὶ μακαρίων, τὰς ἀνόδους ὁρᾷν κατηξίωσας.

Ἰαμάτων σοι χάριν, κατὰ νοσημάτων ποικίλλων δεδώρηται, καὶ κατὰ πνευμάτων ἀκαθάρτων Χριστὸς ἐξουσίαν σοφέ· τὴν γὰρ φύσιν πάτερ νενικηκὼς τοῖς ὑπὲρ φύσιν χαρίσμασι τοῦ πνεύματος.

*Θεοτοκίον.*

Οἱ τῇ σῇ προστασίᾳ περιφρουρούμενοι καὶ τῇ σῇ θείᾳ δόξῃ ἐγκαυχώμενοι σὲ μακαρίζομεν· σὺ γὰρ Παναγία ταῖς ψυχαῖς ἡμῶν παρέχεις εὐφροσύνην καὶ τὴν ἀγαλλίασιν.

Καταβασία. *Ἐξέστη τὰ σύμπαντα.*

Ὠδὴ 42. *Ἄβυσσος ἁμαρτιῶν.*

Ἔσμιμον ἀθλητικῶς πολιτείαν ἁπαλῶν ἐξ ὀνύχων ἀναλαβὼν Θεόφρον, μέχρι τέλους διέσωσας, καὶ ὡς θεῖος ἀριστεύς, στέφανον εἴληφας τὸν τῆς νίκης παρὰ τοῦ πάντων βασιλεύοντος.

Ἔχοντες πρὸς τὸν Θεὸν πρεσβευτήν σε δυνατώτατον μάκαρ καὶ κοινωνὸν φροντίδων καὶ προστάτην καὶ πρόμαχον καὶ μεσίτην εὐμενῆ πάντων σωζόμεθα τῶν κινδύνων καὶ πειρασμῶν καὶ περιστάσεων.

Καταβασία. *Τὴν θείαν ταύτην.*

Κοντάκιον. *Ἐπεφάνης σήμερον.*

Τῶν ὁσίων καύχημα πόλεως παμμάκαρ, τὸν Χριστὸν ἐπόθησας Θεόφρον πάτερ, διὰ τοῦτό σε ὁ πλάστης, στεφάνῳ δόξης κεκόσμηκε.



*Ὁ Οἶκος.*

Τοῦ βίου τὰ πρόσκαιρα καταλιπών, καὶ ποθήσας παμμακάριστε ὅσιε τὰ ἄφθαρτα, τὰ διηνεκῶς διαμένοντα, καὶ καλῶς ἐξασκήσας ἐν τῇ Μονῇ σου, ἀδιαλείπτως προσευχόμενος τῷ Κυρίῳ ὑπήνεγκας γενναίως τοὺς πειρασμοὺς τῶν ἀοράτων ἐχθρῶν καὶ ὡς οὐδὲν ἐλογίσω τούτοις πάτερ, ἀλλὰ κατεπάτησας τῇ δυνάμει τοῦ ἁγίου πνεύματος· διὰ τοῦτό σε ὁ πλάστης στεφάνῳ δόξης κεκόσμηκε.

Τῇ Ζ′ τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου πατρὸς ἡμῶν Λαυρεντίου τοῦ κτίτορος τῆς ἐν τῇ νήσῳ Σαλαμῖνος Μονῆς Φανερωμένης.

Στίχ. *Οὐράνιον δόμον νῦν ἔχεις πάτερ.*
Στίχ. *Καταλιπὼν γηΐνων καὶ φθαρτῶν μάκαρ.*
Στίχ. *Ἀεὶ τοίνυν πρέσβευε ὑπὲρ τῶν σῶν δούλων.*
Στίχ. *Ἀτρώτοις μεῖναι, ἐκ τῶν παγίδων τοῦ πειρασμοῦ.*

# ΒΙΟΣ

Οὗτος ὁ ὁσιώτατος καὶ δικαιότατος ἄνθρωπος ὁ πατὴρ ἡμῶν Λαυρέντιος κατήγετο ἐκ τῆς πόλεως Μεγάρων· οἱ δὲ γονεῖς αὐτοῦ ἦσαν ὀρθόδοξοι, καὶ λίαν εὐλαβεῖς εἰς τὴν πίστιν· καὶ ὁ μὲν πατὴρ αὐτοῦ ἐκαλεῖτο Δημήτριος, ἡ δὲ μήτηρ αὐτοῦ Κυριακή· ἡλικιωθεὶς δὲ ὁ δίκαιος οὗτος ἄνθρωπος, συνεζεύχθη μετὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

νομίμου γυναικὸς καλουμένης Βασίλως· ἐγέννησε δὲ καὶ υἱοὺς δύο, τὸν μὲν Ἰωάννην, τὸν δὲ Δημήτριον· ἦν δὲ γεωπόνος, μετερχόμενος καὶ τὴν τεκτονικήν· ποτὲ δὲ οὗτος ἐπορεύθη μετὰ ἑτέρων δύο πατριωτῶν αὐτοῦ, ἐν τόπῳ τινὶ τῆς ἑαυτοῦ πατρίδος καλουμένῳ Λιάντρῳ πρὸς γεωργίαν τῶν ἐκεῖσε ἀγρῶν.

Ἐν μιᾷ οὖν νυκτὶ ὤφθη αὐτῷ ἐν ὁράματι ἡ Κυρία ἡμῶν Θεοτόκος, προστάττουσα αὐτόν, ὅπως ἔλθῃ εἰς τὸν (δεῖνα) τόπον ἵνα οἰκοδομήσῃ τὸν ναὸν αὐτῆς· ἐγερθεὶς οὖν ἐκ τοῦ ὕπνου ὁ δίκαιος οὗτος ἀνήρ, φησί, τίς εἶ ἡ προστάττουσά με τοῦ ἀνεγεῖραι τὸν ναόν σου; καὶ ἠκούσθη φωνὴ λέγουσα, ὁ ναός μου εὑρίσκεται καταδαφισμένος ἐν τῇ Νήσῳ τῆς Σαλαμῖνος κατὰ τὸ βόρειον μέρος· ὁ δέ, οὐκ ἐπίστευσε· τὴν ἐπομένην νύκτα ὁρᾷ πάλιν τὴν Παναγίαν προστάττουσαν αὐτὸν μετ' ἀπειλῆς· ὁ δὲ ἐν ἀπιστίᾳ μένων, μηδόλως ἐλογίζετο· ὅθεν ὁρᾷ καὶ ἐκ τρίτου τὴν Θεοτόκον ἐπαπειλοῦσαν αὐτὸν καὶ λέγουσαν, τάχιστα πορεύου ἄνθρωπε ἐν τῇ νήσῳ, ἣν ἐγὼ εἶπόν σοι, ἵνα τελέσῃς τὸ παρ' ἐμοῦ προσταττόμενον· ὁ δὲ ταπεινὸς Γέρων ἔντρομος γενόμενος, ὑπέστρεψεν εἰς τὴν ἑαυτοῦ πατρίδα, καὶ διηγούμενος τὸ ὅραμα, τοῖς μὲν ἐγένετο πιστευτόν, τοῖς δὲ ἀμφίβολον· καὶ οὕτως ἔμεινεν ὁ Γέρων εἰς τὴν οἰκίαν του, ὁπό τε τὴν νύκτα ἐφάνη αὐτῷ καὶ αὖθις ἡ Θεομήτωρ ἀπειλοῦσα βαρέως αὐτόν, ἵνα εἰσέλθῃ ἐν τῇ νήσῳ τοῦ ἐκτελέσαι τὸ προσταττόμενον.



Ὁ δὲ Γέρων ἐκπλαγεὶς προσηύχετο, καὶ θείᾳ νεύσει καὶ ὁδηγίᾳ εἰσῆλθεν ἐν τῇ νήσῳ, καὶ εὑρὼν τὸν τόπον, ὃν ἡ Θεοτόκος ἀπεκάλυψεν αὐτῷ, ἐν ᾧ ἦν ποτε ᾠκοδομημένος ὁ ναὸς τῆς Θεοτόκου, ἀνήγειρεν ἐν τῷ αὐτῷ τόπῳ νέον ναόν, ὃς ἤδη σώζεται. Εἶτα καταλιπὼν γυναῖκά τε καὶ τέκνα ἐγένετο μοναχός, μετονομασθεὶς Λαυρέντιος, ἐπειδὴ τὸ πρῶτον Λάμπρος ἐκαλεῖτο· συναθροίσας δὲ καί τινας ἱερομονάχους καὶ μοναχούς, συνέζη μετ' αὐτῶν, οἰκοδομήσας τὰς ἀναγκαίας οἰκίας (κελλία)· οὐκ ἔπαυσε δὲ προσευχόμενος ἀδιαλείπτως τῷ Θεῷ, διδάσκων καὶ νουθετῶν, καὶ γενόμενος τύπος καὶ κανὼν τῆς ἀρετῆς τοῖς λοιποῖς μονάζουσι· πανταχόθεν δὲ προσέτρεχον χριστιανοὶ εἰς τὴν νεοφανεῖσαν ταύτην Μονὴν τῆς Θεοτόκου μετὰ πάσης εὐλαβείας, θεραπεύοντες παντὸς εἴδους ἀσθενείας.

Νῦν δὲ μέλλομεν νὰ διηγηθῶμέν τινα θαύματα, τὰ πρὸς ὑμνολογίαν τοῦ Παντάνακτος Θεοῦ διὰ τοῦ Ὁσίου τελούμενα. Ὑπῆρχέ τις ἀόμματος ἐφ' ἱκανοὺς χρόνους, Κυριαζῆς τοὔνομα ἐκ Κώμης τινὸς τῆς Εὐβοίας, καλουμένης Φύλλα, ὃς μαθὼν τὴν φήμην τοῦ Ἁγίου, προσέτρεξε σὺν θερμῷ ζήλῳ καὶ εὐλαβείᾳ εἰς τὴν αὐτοῦ θείαν Μονὴν καὶ εὑρὼν τὸν Ἅγιον προσέπεσεν εἰς τοὺς πόδας αὐτοῦ παρακαλῶν αὐτὸν· νὰ ἱκετεύσῃ τὴν Θεοτόκον, ὅπως θεραπευθῇ ἐκ τῆς ἀσθενείας του. Ὁ δὲ Ἅγιος παρεκάλεσε τὴν Θεοτόκον

μετὰ πολλῶν δακρύων καὶ παραχρῆμα ἠνεῴχθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ καὶ ἐθεραπεύθη, εὐχαριστήσας τὸν Θεόν, καὶ τὴν ὑπέραγνον παρθένον· ὑπέστρεψε δὲ χαίρων ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ διηγούμενος τὰ θαυμάσια τῆς Θεοτόκου διὰ τῶν παρακλήσεων τοῦ Ἁγίου.

Κατ' ἐκεῖνον τὸν καιρὸν Γεώργιός τις τοὔνομα, καταγόμενος ἐκ τῆς Νήσου τῶν Θερμιῶν, ἐβασανίζετο ὑπὸ πνευμάτων ἀκαθάρτων ὑπὲρ τοὺς εἴκοσι χρόνους· μαθὼν δὲ τὰ θαύματα τοῦ Ἁγίου διὰ τῆς Θεοτόκου, ἐκίνησεν ἀπὸ τὸν οἶκον αὐτοῦ κατ' εὐθεῖαν διὰ τὴν Μονήν, καὶ προσελθὼν εἰς τὴν Μονὴν ταύτην, προσέπεσε μετ' εὐλαβείας εἰς τοὺς πόδας τοῦ Ἁγίου παρακαλῶν αὐτὸν μετὰ δακρύων καὶ λέγων, "Ἅγιε τοῦ Θεοῦ, ἱκέτευσον ὑπὲρ ἐμοῦ τοῦ ἀναξίου δούλου σου τὴν Θεοτόκον, ὅπως θεραπευθῶ ἀπὸ τὴν τοιαύτην μεγάλην ἀσθένειαν τοῦ ἀκαθάρτου πνεύματος. Τοῦτον ἰδὼν ὁ Λαυρέντιος εὐσπλαχνίσθη αὐτόν, καὶ προσευξάμενος εἰς τὴν Θεοτόκον, ὢ τοῦ θαύματος, ἰάθη μετ' ὀλίγας ἡμέρας ὁ ἄνθρωπος οὗτος· καὶ μετ' ὀλίγον ἐπέστρεψεν εἰς τὴν ἰδίαν αὐτοῦ πατρίδα, δοξάζων τὴν Κυρίαν Θεοτόκον καὶ διηγούμενος τὰς τοῦ Ἁγίου προσευχάς.

Ἂς διηγηθῶμεν καὶ ἕτερον εὐλογημένοι χριστιανοὶ ὅπερ ἐστὶ τὸ θαυμασιώτερον· ὅτε ᾠκοδόμει τὴν Μονὴν ὁ ἅγιος Λαυρέντιος ἐφάνη αὐτῷ ἡ Παναγία ἐν ὁράματι προστάττουσα αὐτὸν νὰ πορευθῇ ἔν τινι τόπῳ

ΣΠΥΡΙΔΩΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τῆς Σαλαμῖνος, ὅπου ἦν τεθαμμένος κίων τις ἐκ πέτρας, τὸν ὁποῖον νὰ κομίσῃ εἰς τὴν Μονὴν πρὸς χρῆσιν τῆς οἰκοδομῆς. Ἐν ᾧ δὲ χρόνῳ ἐκόμιζον αὐτὸν εἰς τὴν Μονήν, ὑπὸ συνεργείας τοῦ Σατανᾶ, πεσών τις τῶν ἐκεῖ εὑρεθέντων ἀνθρώπων ὑπὸ τὸν κίονα, θείᾳ βοηθείᾳ τῆς Θεοτόκου ἔμεινεν ἀβλαβής, καὶ ᾔνεσαν τὸν Θεὸν καὶ τὴν Θεοτόκον ἅπαντες οἱ ἰδόντες τὸ γεγονός.

Πάλιν ἂς διηγηθῶμεν ἕτερόν τι θαῦμα τῆς Θεοτόκου· κατὰ τὴν δεκάτην πέμπτην τοῦ μηνὸς Αὐγούστου ἀθροίζεται πλῆθος ἀνθρώπων, ἐκ τῶν Μεγάρων, ἐκ τῆς Σαλαμῖνος, ἐκ τῶν Ἀθηνῶν, καὶ ἐξ ἄλλων περιχώρων, εἰς τὴν πάνσεπτον Κοίμησιν τῆς Θεοτόκου, εὐλαβείᾳ κινούμενοι· μεταξὺ δὲ τῶν τότε συναθροισθέντων χριστιανῶν, ἦτο καί τις ἀρχιθύτης τῶν Ἀθηνῶν, Ἰάκωβος τοὔνομα, ὅστις νικώμενος ὑπὸ πλεονεξίας, ἀδικίας καὶ ἁρπαγῆς, ἁρπάσας τὰ κηρία καὶ ἄλλα τινὰ ἀφιερώματα, καὶ ὑβρίσας περιφρονητικῶς τὸν Γέροντα Λαυρέντιον ἀνεχώρησε καὶ μετέβη εἰς τὴν Σαλαμῖνα· ἀλλ' ἐκεῖ ἐν ἐκείνῃ τῇ νυκτὶ ὁρᾷ ὁ Ἐπίσκοπος ἐν τῷ ὕπνῳ αὐτοῦ τὴν Παναγίαν, καταπατοῦσαν αὐτὸν ἐπὶ τοῦ αὐχένος, καὶ ἀπειλοῦσαν, ἵνα ἀποστείλῃ ὡς τάχιστα ἅπαντα τὰ ἀφαιρεθέντα. Ὁ δὲ Ἐπίσκοπος ἔντρομος γενόμενος, ἀμέσως τὴν ἐπαύριον ἀπέστειλεν εἰς τὴν Μονὴν πάντα ὅσα εἶχεν ἀφαιρέσει, ἵνα λάβῃ παρὰ τῆς Θεοτόκου συγχώρησιν.

Ἰάκωβος Ἀθηνῶν 1676-1686

Οὗτός ἐστι ὁ βίος καὶ ἡ πολιτεία τοῦ Ὁσίου πατρὸς ἡμῶν Λαυρεντίου, εὐλογημένοι χριστιανοί· τόσον δίκαιος καὶ ἐνάρετος ἦτον ὁ ἄνθρωπος οὗτος τόσον ἀγαθὸς ψυχῇ τε καὶ καρδίᾳ ἐδείχθη, καὶ διὰ τοῦτο ἠγαπήθη ὑπὸ τῆς Πανενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἥτις καὶ ἐφανέρωσεν εἰς αὐτὸν τὴν πανάχραντον αὐτῆς εἰκόνα, καὶ ἔκαμεν αὐτὸν κτίτορα τῆς Ἁγίας αὐτῆς Μονῆς, ἣν ὡς φαίνεται, ᾠκοδόμησεν οὗτος ἐν ἔτει ᾳχπβ. (1682)·[1] μετὰ δὲ τὴν εὕρεσιν τῆς ἁγίας εἰκόνος τῆς Θεοτόκου, τίς δύναται νὰ διηγηθῇ τὰς ἀρετὰς τοῦ Ἁγίου, τὰς νηστείας δηλ. τὰς γονυκλισίας, καὶ τὰς μετὰ δακρύων προσευχὰς πρὸς τὴν Παναγίαν, ὑπὲρ παντὸς τοῦ κόσμου; τίς δύναται νὰ διηγηθῇ τὴν εὐσπλαγχνίαν τοῦ ἁγίου, θεραπεύοντος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τῶν

---

1) Ταύτην τὴν χρονολογίαν εἶχε τὸ χειρόγραφον τῆς ἀκολουθίας ταύτης· ὁ κ. Γ. Λαμπάκης εἰδικὰς μελέτας περὶ τῆς ἀρχαιολογίας τῆς Μονῆς ποιησάμενος μεταξὺ τῶν χειρογράφων αὐτῆς, εὗρε τὴν ἑξῆς χειρόγραφον ἐπίσημον πληροφορίαν:

*1670 — Μαΐου 17.*

*«ἤλθα εγὸ ο εὐτελεῖς λαυρρέντιος εἰς νυσὶν τῆς λεγομενης τό ἐπίκλην σαλαμήνης καὶ ἀνακένισα τὸ μοναστῆριο πουητον εριμομένο ἀπὸ κεροῦς»*

—

*«ης τοὺς 1707 ἐν μινι μάρτιου 9 ἡμέρα τον ἁγίον σαρατο ἐκυμιθι ο μακαρίτης ὁ κτητορας του μοναστηρήου ονόματι λαυρεντηος τὸ ἐπίκλην ἐκ μιγάρου πατρίδος — »*



ἐν πίστει προσερχομένων ἐν τῇ Ἱερᾷ ταύτῃ Μονῇ καὶ ἱκετευόντων τὴν ὑπέραγνον μητέρα τοῦ οὐρανοῦ καὶ τῆς γῆς; τίς δύναται νὰ διηγηθῇ ἅπαντα τοῦ ἁγίου τὰ θαύματα, ἅτινα ἐποίησεν ἀπὸ τὴν λαμπροφανήσιμον ἡμέραν τῆς ἁγίας εἰκόνος τῆς Θεοτόκου, μέχρι τῆς σήμερον; ὄντως «θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ»· ἀπέθανε δὲ ὁ ἅγιος Λαυρέντιος τῇ 6 Μαρτίου 1770 ἡ δὲ μνήμη αὐτοῦ τελεῖται τῇ 7 τοῦ αὐτοῦ μηνός.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Θεοῦ συγκατάβασιν.*

Φιάλαι πεφύκασι τῶν ἀρωμάτων αἱ σιαγόνες σου, ἀρετῶν εὐωδίας καὶ σωτηρίας ἀρωματίζουσαι, ὡς ἐκ λειμῶνος, τοῖς πόθῳ κραυγάζουσι· εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ἡ χάρις τοῦ πνεύματος τοῦ παναγίου σοὶ ἐνοικήσασα, τῶν πνευμάτων διώκειν τὰς πονησίας πάτερ εἰργάσατο καὶ μοναζόντων ἀλείωτον κραυγάζοντα· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Μαρίαν τὴν ἄχραντον καὶ παναγίαν ἀνευφημήσωμεν· δι᾽ αὐτῆς γὰρ ἡ χάρις ἡμῖν πηγάζει τῶν ὑπὲρ νοῦν δωρεῶν, ὡς ἐκ χειμάρρου τῆς θείας χρηστότητος, ἣν εὐσεβῶς νῦν μακαρίσωμεν.

Ὠδὴ ή. *Ἑπταπλασίως κάμινον.*

Ἐν προσευχαῖς τὸ ἄγρυπνον, ἐν νηστείαις τὸ εὔτονον, τὸ καρτερικὸν ἐν πειρασμοῖς Λαυρέντιε, νοὸς καθαρότητι ἐπὶ τῆς γῆς ὡς Ἄγγελος πολιτευόμενος, τῷ Θεῷ ἀνεβόας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱκεσίαις ὅσιε, καὶ δεήσεσι χρώμενος, διηνεκῶς πρὸς τὸν Θεὸν ἀνέδραμες πρὸς ὕψος μετάρσιον, τοὺς δαιμόνων βρόχους φυγών· ἐλευθερωθεὶς δὲ τῆς αὐτῶν τυραννίδος, θεόφρον ἀνέμελπες· ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νέος Μωσῆς γενόμενος ἐν ἐρήμῳ τὸ πρόσκαιρον κατὰ τῶν ἐχθρῶν καὶ πολεμίων ἔστησας, λαοῦ προηγούμενος, τῶν Ἀσκητῶν συστήματος, τοῦ ἐν εὐφροσύνῃ καὶ σεμνῇ πολιτείᾳ βοῶντος τῷ δεσπότῃ· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Θεογεννῆτορ πάναγνε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον, πηγαῖς αποσμήχουσα, ταῖς εἰς πλευρὰς τοῦ τόκου σου, καὶ τοῖς ἐξ αὐτῆς ἀποκαθαίρουσα ῥείθροις, πρὸς σὲ γὰρ ἀνακράζω καὶ πρὸς σὲ καταφεύγω, καὶ σὲ παρακαλοῦμεν τὴν κεχαριτωμένην.

Καταβασία. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὠδὴ θ΄. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.*

Ἐπέστη ἡ φωσφόρος σου ἑορτὴ παμμακάριστε πάτερ Λαυρέντιε πλήρης χαρᾶς, πλήρης εὐφροσύνης πνευματικῆς, πλήρης χάριτος ἁγίου πνεύματος, πλήρης εὐωδίας καὶ φωτισμοῦ· καὶ νῦν σε κεκτημένοι ἀσκήσεως κανόνα καὶ νομοθέτην ἀγαλλόμεθα.

Μὴ παύσῃς ἱκετεύων τὸν λυτρωτὴν πανσεβάσμιε πάτερ, δωρήσασθαι τοῖς εὐλαβῶς τελοῦσι τὴν ἱεράν σου μνήμην, τὴν τῶν πταισμάτων ἄφεσιν, τὴν τῶν χαρισμάτων διανομήν, τὴν θείαν προστασίαν, τὴν τῶν ψυχῶν σωτηρίαν καὶ αἰωνίαν ἀπολύτρωσιν.

Ὡς Ἄγγελος βιώσας ἐπὶ τῆς γῆς, τὴν ἰσάγγελον εὗρες φαιδρότητα· τῆς γὰρ αὐτῶν θεοειδεστάτης μαρμαρυγῆς, ἐν μετουσίᾳ γέγονας, οἷς καὶ συναγάλλῃ διηνεκῶς, ὡς ἔνθεος προφήτης, ὡς μάρτυς στεφηφόρος, ὡς μοναζόντων ἀκροθήνιον.

*Θεοτοκίον.*

Συνέλαβες παρθένε δίχα σπορᾶς, τὸν τὰ πάντα δημιουργήσαντα λόγον Θεοῦ, ἄνευ θελημάτων τῶν τῆς σαρκός· ἄνευ φθορᾶς δὲ τέτοκας, καὶ ἄνευ ὠδίνων τῶν μητρικῶν· διὸ σὲ Θεοτόκον καὶ γλώσσῃ καὶ καρδίᾳ ὁμολογοῦντες μεγαλύνομεν.

Καταβασία. *Ἅπας γηγενής.*

Ἐξαποστειλάριον. *Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Ἐν σοὶ θεόφρον τὸ πνεῦμα, κατοικεῖν ᾑρετήσατο,

καὶ διὰ τοῦτο παμμάκαρ, ἐφωτίσθη δαψιλῶς· ὅθεν ἐν ὕμνοις σὲ πάντες, γεραίρωμεν Θεοτόκε.

*Θεοτοκίον.*

Ἡ τὴν ἀρὰν τοῦ κόσμου, τῷ θείῳ τόκῳ σου σεμνή, ἐξαφανίσασα ποίμνην, σὲ λιτανεύουσαν πιστῶς, ἀπὸ παντοίων κινδύνων ῥύσαι πρεσβείαις σου κόρη.

Εἰς τοὺς Αἴνους. *Πᾶσα πνοή.* ἱστῶμεν στίχ. γ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια· δευτεροῦντες τὸ πρῶτον.

ἦχος πλ. δ΄.

*Ὢ τοῦ παραδόξου θαύματος.*

Ὅσιε πάτερ μακάριε, πεφωτισμένος τὸν νοῦν, σὺ ὑπάρχεις Λαυρέντιε, τῷ Χριστῷ προσέδραμες, καὶ τὰ τούτου διδάγματατα, ἐπιμελῶς τε ἀγωνισάμενος, τῇ ἐξασκήσει, πάντας ἐφώτισας· ὅθεν γεραίρομεν, σοῦ τὴν θείαν λάρνακα πάτερ σαφῶς, ἐξ ἧς οὖν λαμβάνομεν ῥύσιν ἀένναον. (Δίς).

Πάτερ θεόφρον Λαυρέντιε δι' ἀρετῆς ἐμμελῶς, ἀνεδείχθης διδάσκαλος μοναζόντων ἔρεισμα, καὶ κανὼν ἀκριβέστατος, καταφωτίζων τοὺς ἀνυμνοῦντάς σε καὶ διαλάμπων πᾶσι τοῖς πέρασι, πατερ γηθόμενος, σὺν ἀγγέλοις ἅπασιν ἐν οὐρανοῖς, μεθ' ὧν οὖν νῦν πρέσβευε, ὑπὲρ τῶν δούλων σου.

Ὄντως ὑπάρχεις τὸ καύχημα, τῶν μοναστῶν ὁδηγός, ἀσκητῶν ἐγκαλλώπισμα, τῶν ὁσίων στήριγμα, θεοφόρε Λαυρέντιε· μὴ διαλείπῃς ὑπὲρ τῶν δούλων σου τῶν πεπτωκότων, ἐκ τοῦ ἀλάστορος· ἱκετεύειν ἔνδοξε,



Χριστὸν τὸν Θεόν, τὸν σὲ γὰρ δοξάσαντα τῶν ἀσκητῶν καλλονήν.

*Δόξα.* ἦχος δ΄.

Δεῦτε εὐφημήσωμεν, τὸν θερμὸν ἡμῶν προστάτην καὶ πρόμαχον, τὸν γενναίως κατατροπώσαντα, καὶ καταβαλόντα τοῦ Βελίαρ τὰ ἔνεδρα. Λαυρέντιον τὸν ἔνδοξον τῶν ἀσκητῶν τὸ ἔρεισμα, τῶν ὁσίων ἐγκαλλώπισμα, τὸν διηνεκῶς ἱκετεύοντα τὸν Σωτῆρα καὶ Θεόν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων.*

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν· τυπικὰ καὶ ἐκ τοῦ Κανόνος. ᾠδὴ γ΄. καὶ ς΄. Ὁ Ἀπόστολος.

Προκείμενον τοῦ Ἀποστόλου. ἦχος βαρύς.

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου.*

Στίχ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.*

*Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοὶ πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπήκετε· αὐτοὶ γὰρ ἀγρυπνῶσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο· προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γάρ, ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι· περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν· ὁ δὲ Θεὸς τῆς εἰρήνης ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν, ἐν αἵματι διαθήκης αἰωνίου τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ

ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ· ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐν ὁσιώτητι αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα· ἦχος Β΄.

*Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον· *Ἐκ τοῦ κατὰ Λουκᾶν.*

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν. καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας· καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Κοινωνικὸν

*Εἰς μνημόσυνον αἰώνιον.*

---

ΤΕΛΟΣ

Καὶ τῷ Θεῷ δόξα.